UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

XXVI. De Ioviani Imperatoris obitu.

**urn:nbn:de:hbz:466:1-14233**

Visual Library

νεικίαν ἐκκόψαι, φήσας μηδενὶ ὀχληρὸς τῶν ὁπωσοῦν πιστευόντων ἔσεσθαι· ἀγαπήσειν δὲ καὶ ὑπερτιμήσειν τοὺς ἀρχὴν τῇ ἑνώσει τῆς ἐκκλησίας παρέξοντας. ταῦτα δὲ οὕτως αὐτὸν πρᾶξαι καὶ Θεμίστιος φησὶν ὁ φιλόσοφος· ὑπατικὸν γὰρ λόγον εἰς αὐτὸν διελθὼν, θαυμάζει τὸν βασιλέα, ὡς τὸ ἐφεῖναι θρησκεύειν ὡς ἕκαστοι βούλονται, νικήσαντα τῶν κολάκων τοὺς τρόπους· οὓς καὶ διασύρων πάνυ γελοίως ἔφη, ἐλέγχεσθαι αὐτοὺς ἀλουργίδα, οὐ Θεὸν θεραπεύοντας· μηδέν τε διαφέρειν αὐτοὺς εὐρίπου, νῦν μὲν ἐπὶ τάδε, νῦν δὲ εἰς τοὐναντίον τὰ ῥεύματα μεταβάλλοντος.

A sione extingueret: ajebatque se nemini omnino qualiscunque fidei esset, molestiam exhibiturum: eos tamen præ cæteris amaturum atq; in pretio habiturum, qui reparandæ in Ecclesia pacis auctores ac duces se præberent. Atque hæc ita ab illo gesta esse testatur etiam Themistius Philosophus. Nam in oratione quam de illius Consulatu scripsit, Imperatorem magnis effert laudibus, ob id quod concessa cuique libera facultate colendi numinis prout vellet, adulatorum mores compresserit. Quos quidem facete perstringens, ait experimento cognitum esse, illos non Deum sed purpuram colere: planeque similes esse Euripo, qui modo in hanc, modo in B illam partem fertur.

---

## Κεφ. κϛ'.

### Περὶ τῆς τελευτῆς Ἰοβιανοῦ τοῦ βασιλέως.

Οὕτω μὲν οὖν ὁ βασιλεὺς τότε τὴν ὁρμὴν τῶν ἐρεσχελεῖν προαιρουμένων ἐπέσχεν. ᾗ τάχος δὲ τῆς Ἀντιοχείας ἀναχωρήσας, τήν Ταρσόν τε καταλαβὼν τῆς Κιλικίας, ἐκεῖ τὸ Ἰουλιανοῦ σῶμα ἔθαψε· καὶ πάντα ἐπὶ τῇ κηδείᾳ τὰ νόμιμα πληρώσας, ὕπατός τε ἀναγορεύεται· καὶ αὖθις ἐπὶ τὴν Κωνσταντινούπολιν διαβαίνειν σπουδάζων, ἐν χωρίῳ τινὶ παραγίνεται, ᾧ προσωνυμία Δαδάστανα· μεθόριον δέ ἐστι τοῦτο Γαλατίας καὶ Βιθυνίας· ἔνθα καὶ Θεμίστιος ὁ φιλόσοφος μετὰ τῶν ἄλλων συγκλητικῶν ἀπαντήσας, τὸν ὑπατικὸν ἐπ' αὐτοῦ διεξῆλθε λόγον, ὃν ὕστερον καὶ ἐν Κωνσταντίνου πόλει ἐπὶ τοῦ πλήθους ἐπεδείξατο· ἀλλ' εὐτυχῶς τὰ Ῥωμαίων ἔπραξεν ἄν, τά τε δημόσια καὶ τὰ ἐκ τῶν ἐκκλησιῶν, οὕτως ἀγαθοῦ βασιλέως εὐτυχήσαντα, εἰ μὴ αἰφνίδιος ἐπιγενόμενος θάνατος, τὸν τοιοῦτον ἄνδρα τῶν πραγμάτων ἀφείλετο· ἐν γὰρ τῷ προρρηθέντι χωρίῳ, χειμῶνος ὥρᾳ τῷ τῆς ἐμφράξεως νοσήματι συσχεθεὶς τελεύτησεν, ἐν ὑπατείᾳ τῇ αὐτοῦ καὶ Βαρωνιανοῦ τοῦ υἱοῦ αὐτοῦ, τῇ ἑπτακαιδεκάτῃ τοῦ Φεβρουαρίου μηνός· βασιλεύσας μῆνας ἑπτὰ, ζήσας ἔτη τριακοντατρία. περιέχει δὲ ἡ βίβλος χρόνον ἐτῶν δύο, μηνῶν πέντε.

## Caput XXVI.

### *De Joviani Imperatoris obitu.*

Ad hunc modum Imperator impetum eorum qui contentionibus studebant, tunc temporis compescuit. Statimq; Antiochiâ digressus, cum Tarsum Ciliciæ venisset, corpus Juliani sepulturæ mandavit: peractaque exequiarum ejus solennitate, Consul renuntiatur. Inde Constantinopolim contendens, venit ad locum quendam cui no- C men est Dadastana, in finibus Galatiæ & Bythiniæ situm. Ibi Themistius Philosophus cum aliis Senatorii ordinis viris obviam ei progressus, orationem Consularem coram illo recitavit, quam iterum postea Constantinopoli coram populo pronuntiavit. Ac profecto res Romanæ tam civiles quam Ecclesiasticæ, utpote optimum Principem nactæ ad summam felicitatem perventuræ erant, nisi repentina mors talem virum reipublicæ subtraxisset. Nam in loco superius memorato, hyems tempore obstructionis morbo correptus, excessit è D vita, Consulatu suo & Varroniani filii, die xiij. Kalendas Martii: cum regnasset menses septem, vixisset vero annos tres ac triginta. Porro hic liber complectitur res gestas spatio biennii & mensium quinque.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN